Εὐσταθίου:
Ἀρχιεπ. Θεσσαλονίκης:
Σχόλια Ἰλιάδος
στ. 844. Β.
358-359.

# ΡΗΣΟΣ.

Θρήϊκας ἦγεν Ἀκάμας καὶ Πείροος ἥρως,
ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει.

τούτοις δὲ προστίθησι δι' ἑτέρους Θρᾶκας, ὧν ἦρχε Ἰφιδάμας, ὃς ἐτράφη ἐν Θρῄκῃ ἐριβώλακι, μητέρι μήλων, ἐλθὼν σὺν δώδεκα ναυσίν, ἃς ἔλιπεν ἐν Περκώτῃ.

ἔτι δὲ καὶ διὰ τοὺς ὑπὸ τὸν Ῥῆσον Θρᾶκας.

τοῖς δὲ περὶ Ἀκάμαντα καὶ Πείροον Θρᾳξὶ φασὶ καὶ τοὺς περὶ Μάρωνα συνεισφέρεσθαι.

λέγουσι δὲ οἱ παλαιοὶ καὶ ὅτι Ἰφιδάμας καὶ Ῥῆσος τῶν ἐπηλύδων Θρᾳκῶν ἦρχον, καὶ οὐ τῶν Ἑλλησποντίων.

Ἰλ. Κ. 434-461

Θρήϊκες οἵδ' ἀπάνευθε νεήλυδες ἔσχατοι ἄλλων.
ἐν δέ σφιν Ῥῆσος βασιλεύς, πάϊς Ἠϊονῆος.
τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους.
λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

Νέστωρ ἐν τοῖς ἑξῆς ἀκτίνεσσιν ἐοικέναι αὐτοὺς ἡλίου φησίν. ἀνέμου δὲ θᾶσσον οὐδὲν τῶν ὑπὸ οὐρανὸν σωμάτων, ὥστε ἀνέμοις μὲν καὶ ἡλίῳ ἐοίκασι, χιόνος δὲ λευκότεροι εἰσί . . .

Δόλων ὡς περὶ χρυσοῦ ἐπτοημένος καὶ διὰ τοῦτο τὰ περὶ τὸν Ῥῆσον περιέργως ἐπιλεπτολογῶν ἐπαινεῖ μετὰ τοὺς ἵππους καὶ τὰ ὅπλα καὶ τὸ τοῦ Ῥήσου ἅρμα εἰπών.

ἅρμα δέ οἱ χρυσῷ καὶ ἀργύρῳ εὖ ἤσκηται,

ἀκολούθως

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τεύχεά τε, φησί (Κ. 439) χρύσεια πελώρια, θαῦμα ἰδέσθαι, ἤλυθ' ἔχων· τὰ μὲν οὔτι κατὰ θνητοῖσιν ἔοικεν, ἤγουν πρέπει, ἄνδρεσσι φορέειν, ἀλλ' ἀθανάτοισι θεοῖσι. ---

Ἱστέον ὅτι τὸν ἔνδοξον Ῥῆσον Ὅμηρος μὲν Ἠιονέως ἱστορεῖ, ὡς δεδήλωται, οἱ νεώτεροι δὲ Στρυμόνος τοῦ κατὰ Θρᾴκην φασὶ ποταμοῦ καὶ Εὐτέρπης Μούσης υἱόν.

Λέγουσι δὲ καὶ χρησμὸν ἀποκεῖσθαι αὐτῷ, εἰ τῆς ἐν Τροίᾳ βοτάνης φάγοιεν οἱ ἵπποι αὐτῷ καὶ τοῦ ἐκεῖσε πίοιεν ὕδατος ἀπρόσμαχον αὐτὸν ἔσεσθαι. τὰ δ' οὐκ ἐγένετο· ἅμα γὰρ κατέλαβε, καὶ αὐτονυχεὶ ἀνῃρέθη ὑπὸ Διομήδους ὑπνώττων ἀφύλακτος.

Πίνδαρον δέ που φασὶν ἱστορεῖν ὅτι μίαν ἡμέραν πολεμήσας μεγάλα κατὰ τῶν Ἀχαιῶν ἐνεδείξατο.

Ἱστέον ὁ μῦθος οὐ μόνον τὴν ἔνδοξον Μοῦσαν Εὐτέρπην μητέρα ποιεῖ, ἀλλὰ καὶ ἑτέρας.

Καλλιόπης ἢ Κλειοῦς ὁ Ὀρφεύς,
Λίνος δὲ Τερψιχόρης,
Θαλείας Παλαίφατος,
Ἐρατοῦς Θάμυρις, Μελπομένης Σειρῆνες,
Πολυμνίας Τριπτόλεμος.